


## ΑΠΡΙΛΙΟΥ ΚϚ΄

## Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἱεράρχου ΚΑΛΑΝΔΙΩΝΟΣ

### ΕΙΔΗΣΙΣ.

Ἰστέον ὅτι, εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν καθημερινῇ ἡμέρᾳ τῆς περιόδου τῆς Μεγάλης Τεσσαρακοστῆς, αὕτη μετατίθεται εἰς τὸ πλησιέστερον Σάββατον ἢ Κυριακὴν καὶ ψάλλεται ἐν συνδυασμῷ πρὸς τὴν ἀκολουθίαν τῆς ἡμέρας. Εἰ τύχοι ἐντὸς τῆς Μεγάλης Ἑβδομάδος ἢ ἐντὸς τῆς Διακαινησίμου, μετατίθεται εἰς μίαν μετὰ τὴν Διακαινήσιμον ἡμέραν.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς γ΄ καὶ τοῦ Ἁγίου γ΄.

Στιχηρὰ τοῦ Ἁγίου.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Φαιδρὰ ἐξανέτειλε, καθάπερ ἥλιος Ὅσιε, ἡ πανέορτος μνήμη σου, ἀκτῖσιν ἀστράπτουσα, τῶν σῶν ἐναρέτων, πράξεων παμμάκαρ, καὶ καταυγάζουσα πιστῶν, τὰς διανοίας φέγγει δογμάτων σου. Αὐτὴν οὖν ἑορτάζοντες, περιχαρῶς σε γεραίρομεν, καὶ πιστῶς μακαρίζομεν, Καλανδίων πατὴρ ἡμῶν.

Δρόμον τῆς ἀσκήσεως, ἀπεριτρέπτως τετέλεκας, καὶ τὴν πίστιν τετήρηκας· ἐντεῦθεν καὶ στέφανον, ἐκομίσω Πάτερ, τῆς δικαιοσύνης, ὅν σοι ἡτοίμασε Χριστός, ὁ κατ᾿ ἀξίαν νέμων τὰ ἔπαθλα, καὶ γέρα χαριζόμενος, καὶ τὴν τῶν πόνων ἀντίδοσιν· ὧν καὶ νῦν ἡμᾶς δρέψασθαι, θεοφόρε δυσώπησον.

Πάθη τὰ τοῦ σώματος, δι᾿ ἐγκρατείας ἐμάρανας, καὶ συντόνου δεήσεως, καὶ ὄφιν τὸν δόλιον, τῶν δακρύων ὄμβροις, ἀπέπνιξας μάκαρ, καὶ εὐηρέστησας Θεῷ, ὑπερβαλλόντως θεόφρον Ὅσιε· διό σε κατεκόσμησεν, ἐπουρανίοις χαρίσμασι, Καλανδίων πατὴρ ἡμῶν, Ἰησοῦς ὁ φιλάνθρωπος.

Δόξα... Ἦχος πλ. β΄.

Θεία χάρις ἀπῃώρητο ἐπὶ τῇ θήκῃ τῶν λειψάνων σου, ἡγιασμένε Καλανδίων· διὸ καὶ εἰς ὀσμὴν μύρου τῶν θαυμάτων σου, πίστει προσερχόμενοι, τῶν νοσημάτων τὴν ἴασιν ἀρυόμεθα. Ἀλλὰ πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... τῆς Ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν, καὶ τὸ Προκείμενον τῆς ἡμέρας.

Σημ.: Εἰ βούλει εἰπεῖν Ἀναγνώσματα, ἀνάγνωθι τά κατωτέρω διαλαμβανόμενα.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ.ι΄ 7, 6 γ΄ 13-15 η΄ 6, 34, 35, 4, 12, 14, 17, 5-9 κβ΄ 21, 19 ιε΄ 4).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν, ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. ι΄ 31-32, ια΄ 1-12).

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ΄ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοί, ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν.

Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α΄.

Ἐνατενίσας ἀκλινῶς τῷ ὕψει τῆς γνώσεως, καὶ κατοπτεύσας ἀδήλως σοφίας τὸν βυθόν,

σαῖς διδαχαῖς κόσμον κατεπλούτισας Πάτερ. Ὑπὲρ ἡμῶν ἀεὶ Χριστὸν δυσώπει, Ἱεράρχα Καλανδίων.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπον, καὶ οἰκονόμε τῶν αὐτοῦ μυστηρίων, τῶν Ἀρόδων ὁ φρουρός, καὶ Κυπρίων τὸ θεῖον καύχημα, Καλανδίων ἰατρὲ καὶ θαυματουργὲ ὅσιε, μὴ ἐλλείπῃς πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῶν ἁγίων λειψάνων σου, τῶν θαυμάτων τὴν ἐνέργειαν, ἣν πελαγίζουσι τοῖς προσερχομένοις μετὰ πίστεως, δώρησαι πᾶσι τὴν ἴασιν θαυμαστὲ ὅσιε Καλανδίων, πρέσβευε ὑπὲρ τῶν ἐκτελούντων, τὸ ἱερόν σου μνημόσυνον.

Ψαλμῳδικῶς βοήσωμεν πιστοί· δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τῷ θαυμαστώσαντι τὸν δοῦλον αὐτοῦ, ἱερὸν Καλανδίωνα, τῶν ὁσίων τὸ ἀκροθίνιον, καὶ τῶν θαυμάτων τὸν ἀέναον ποταμόν, καὶ τῶν Ἀρόδων τὸν μέγιστον ἀντιλήπτορα. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα... Ἦχος πλ. δ΄.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Καλανδίων πατὴρ ἡμῶν· διὰ σοῦ γὰρ τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Ὁσίων συμμέτοχε καὶ Δικαίων· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον.

Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ ἱερὰ κεφαλή, τὸ καθαρὸν τῶν ἀρετῶν καταγώγιον, ὁ θεῖος τῆς θειοτάτης, ἱερωσύνης κανών, ὁ ποιμὴν ὁ μέγας ὁ φανότατος, πυρσὸς ὁ τὴν νίκην, διακηρύττων τοῖς πέρασιν, ὁ δεομένοις, συμπαθῶς ἐπικλώμενος, ὁ καμπτόμενος, ἀσθενῶν ταῖς δεήσεσι, ῥύστης ὁ ἑτοιμότατος, φρουρὸς ὁ σωτήριος, πᾶσι τοῖς πίστει τελοῦσι, τὴν παναοίδιμον μνήμην σου, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις ὁ ἱερώτατος νοῦς· τὸ τῆς Τριάδος καθαρὸν ἐνδιαίτημα· ὁ στῦλος τῆς Ἐκκλησίας· ὁ τῶν πιστῶν στηριγμός· καταπονουμένων ἡ βοήθεια· ἀστὴρ ὁ ταῖς λάμψεσιν, εὐπροσδέκτων δεήσεων, διασκεδάζων, πειρασμῶν τε καὶ θλίψεων, σκότος πάντοτε· ἀσθενῶν ἡ ἀντίληψις· ὅρμος ὁ γαληνότατος, ἐν ᾧ καταφεύγοντες, οἱ τρικυμίαις τοῦ βίου, περιστατούμενοι σώζονται. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χαίροις ὁ τῶν Ἀρόδων φρουρός, καὶ τῶν Κυπρίων ὁ φωστὴρ ὁ λαμπρότατος, τὸ καύχημα πάσης Πάφου, τῶν ἀσθενούντων πιστῶν, ἡ ταχεῖα Ἅγιε ἀντίληψις, πνευμάτων ἐνέργειαν, ἀπωθῶν ὢ θαυμάσιε, ἀδικουμένων, βοηθὸς ἑτοιμότατος, καὶ πρὸς Κύριον, ὁδηγῶν τὰς ψυχὰς αὐτῶν. Ὅθεν τοὺς ἐκτελοῦντάς σου, τὴν θείαν πανήγυριν, φύλαττε πάσης κακίας, ἐκδυσωπῶν τὸν φιλάνθρωπον, Χριστὸν σαῖς πρεσβείαις, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα... Ἦχος πλ. β΄.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπον, λειτουργὲ Κυρίου, ἄνερ ἐπιθυμιῶν, σκεῦος ἐκλογῆς, στῦλε καὶ ἑδραίωμα τῆς Ἐκκλησίας, Βασιλείας κληρονόμε, μὴ παρασιωπήσῃς, τοῦ βοᾶν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν... τῆς Ἑορτῆς.

Ἀπολυτίκιον.

Ἦχος δ΄.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ

πλούσια, πάτερ Ἱεράρχα Καλανδίων, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς φύλακα ἄγρυπνον, τῆς Ἐκκλησίας Χριστοῦ, τῆς Πάφου ἀγλάϊσμα, Ἀρόδων καύχημα, σοφὸν Καλανδίωνα, θεῖον Ἀρχιερέα, τῶν θαυμάτων τὴν βρύσιν, ἱκετεύσωμεν πάντες, ἵνα λυτρωθῶμεν ταχέως, τῶν συμφορῶν καὶ τῶν περιστάσεων.

Δόξα... Καὶ νῦν... τῆς Ἑορτῆς.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν πηγὴν τῶν θαυμάτων ὡς ἐφικτόν, ἀνεδέξω παμμάκαρ παρὰ Χριστοῦ, τὰ πάθη ἰώμενος, τῶν προσδραμόντων τῷ τάφῳ σου, μετὰ πίστεως ἔνδοξε· ὡς γὰρ ποιμὴν ὑπάρχων, καὶ κῆρυξ τῆς πίστεως, τοῦ ἀληθοῦς Ποιμένος τοὺς λόγους ἐτήρησας· ὅθεν παῤῥησίαν, πρὸς Αὐτὸν κεκτημένος, πατὴρ ἡμῶν μακάριε, ἀνθρώπους διέσωσας, ἐκ κινδύνων πανεύφημε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν σεβάσμιον μνήμην σου.

Δόξα... Καὶ νῦν... τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν ἀξιΰμνητον καὶ θεῖον πρόεδρον, τὸν Καλανδίωνα Ἀρόδων καύχημα, δεῦτε φιλέορτοι πιστοί, ἀξίως ἀνυμνήσωμεν· οὗτος γὰρ ἐξέλαμψεν, ὡς ἀστὴρ φαεινότατος· πάντας γὰρ ἐφώτισε, ταῖς σοφαῖς παραινέσεσι· διὸ οἱ συνελθόντες αὐτῷ βοήσωμεν· Πρέσβευε ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Δόξα... Καὶ νῦν... τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὸν ἔνδοξον πιστοί, Καλανδίωνα πάντες, Ἀρόδων τὸν φρουρόν, καὶ σοφὸν Ἱεράρχην, ὃς πάντας ἐφώτισε, διδαχαῖς ταῖς τοῦ Πνεύματος, δεῦτε σήμερον, τῇ ἱερᾷ αὐτοῦ μνήμῃ ἀνυμνήσωμεν, ἀπὸ βαθέων καρδίας, πιστῶς ἑορτάζοντες.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

Σημ.: Εἰ βούλει εἰπεῖν Εὐαγγέλιον, ἀνάγνωθι τὸ κατωτέρω διαλαμβανόμενον.

Τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου.

Προκείμενον, Ἦχος δ΄.

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Πᾶσα πνοή.

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Ματθαῖον.**
(Κεφ. δ΄ 25 - ε΄ 12).

(Ζήτει τῇ 10ῃ Ἰανουαρίου).

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας...

Ὁ Ν΄ Ψαλμός.

Δόξα... Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπον, καὶ οἰκονόμε τῶν αὐτοῦ θείων μυστηρίων, τῶν Κυπρίων ἀγλάϊσμα, τῶν Ἀρόδων τὸ καύχημα, Καλανδίων πατὴρ ἡμῶν, πρέσβευε ὑπὲρ τῶν ἐπιτελούντων, τὴν πανσεβάσμιον καὶ θείαν μνήμην σου.

Κανόνες. Ὁ τῆς τυχούσης Ἑορτῆς καὶ ὁ τοῦ Ἁγίου.

Ὁ Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α΄.

Ἦχος β΄. Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα.

Ἁμαρτιῶν, τάφῳ δεινῷ συσχεθέντα με, τῇ ἀθανάτῳ νεύσει σου, καὶ τῇ εὐσπλάγχνῳ σου, ἀναστήσας παλάμῃ, ζώωσον ὡς οἰκτίρμων, καὶ πολυέλεος.

Τὰς γενικάς, τῶν ἀρετῶν τελειότητας, τετραμερῶς κτησάμενος, καὶ ὡς ἐν ἅρματι, ἐπιβὰς Θεοφόρε, εἰς νύσσαν θεωρίας, ἤχθης ἐκ πράξεως.

Σὺ τῆς ζωῆς, τῆς ἀκηράτου δεξάμενος, ἐκ τοῦ κρατῆρος Ὅσιε, τὸ θεῖον ἔπιες, καὶ νηφάλιον πόμα· διὸ καὶ τῆς σοφίας, δοχεῖον γέγονας.

Δεῦτε πιστοί, τὸν Ἱεράρχην ὑμνήσωμεν, τὸν Καλανδίωνα καὶ τῶν Ἀρόδων, ὡς φρουρὸν ἀντιλήπτορα, καὶ Χριστὸν δοξάσωμεν, τὸν δωρήσαντα αὐτῷ, θαυμάτων τὴν ἐνέργειαν.

Θεοτοκίον.

Τὸν τοῦ Πατρός, Λόγον τῷ λόγῳ συνείληφας, καὶ ὑπὲρ λόγον τέτοκας· καὶ μετὰ κύησιν, ὑπὲρ φύσιν καὶ λόγον, Παρθένος ὡς πρὸ τόκου, πάλιν διέμεινας.

Ὠδὴ γ΄.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Τῷ ὅπλῳ τοῦ Σταυροῦ θωρακισάμενος, τὸ θεῖον ἐκτύπωμα τοῦ Σωτῆρος, περιγράφων προσεκύνεις εὐσεβῶς, πατρικοῖς ἑφεπόμενος θεσπίσμασιν.

Ἡ ποίμνη τὸν ποιμένα σε ποθήσασα, τὸν ταύτην κατ᾽ ὄνομα συγκαλοῦντα, καὶ τοὺς λύκους ἐκδιώκοντα, τῇ τῆς πίστεως ῥάβδῳ σοὶ προστρέχει Σοφέ.

Ὡς πάλαι Ἰωσὴφ τοῦ θείου σώφρονος, τὸ σῶμα ὁ Ἰσραὴλ συγκομίζει, οὕτω νῦν ἡ Ἐκκλησία Χριστοῦ, τὴν σορὸν τῶν λειψάνων σου σεβάζεται.

Θεοτοκίον.

Ναὸς καὶ ἱερὸν κατοικητήριον, τοῦ Λόγου ὑπάρχουσα Θεοτόκε, τῶν πταισμάτων ἱλαστήριον, Παναγία γενοῦ μοι θεονύμφευτε.

Τὸ Κοντάκιον τῆς Ἑορτῆς.

Εἶτα, Κάθισμα τοῦ Ἁγίου.

Ἦχος γ΄. Θείας πίστεως.

Πᾶσαν ἤρδευσας χώραν τῆς Πάφου, ὥσπερ νάμασι ταῖς διδαχαῖς σου, τῆς εὐσεβείας ἐκβλύζων τὰ δόγματα· ἡ τῆς ζωῆς γὰρ πηγὴ ὁ Χριστὸς ἐν σοί, ἐπανεπαύσατο ὦ Πάτερ ὅσιε· Ὃν ἱκέτευε, ὡς παρρησίαν κεκτημένος θεόπνευστε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Καὶ νῦν.... τῆς Ἑορτῆς.

Ὠδὴ δ΄.

Εἰσακήκοα Κύριε.

Κιβωτὸς ἁγιάσματος, ἐξ ἧς πηγὴν ἰάσεων ἀντλοῦμεν, ἡ σορός σου γέγονε, τοῖς τιμῶσί σε.

Ἡ σορὸς τῶν λειψάνων σου, βρύει ἰαμάτων θεῖα νάματα, θεοφόρε Καλανδίων, πανσεβάσμιε.

Κατὰ χρέος τιμῶμέν σου, τὴν τῶν λειψάνων μάκαρ μυροθήκην, ὡς ζωῆς πηγάζουσαν, εὐωδίαν πιστοῖς.

Θεοτοκίον.

Νοητόν σε παράδεισον, τῆς ζωῆς τὸ ξύλον δεξαμένην, ἐν γαστρὶ Παρθένε, Χριστὸν δοξάζομεν.

Ὠδὴ ε΄.

Ὁ τοῦ φωτὸς χορηγός.

Ἱεραρχῶν καλλονή, καὶ τῶν Ἀρόδων φρουρὸς ἄγρυπνος, τοὺς προσερχομένους, ἐν τῷ σεπτῷ ναῷ σου, καὶ τὴν μνήμην σου, τελοῦντας περίσωζε.

Ἡ ἱερά σου σορός, τὰ τῶν δαιμόνων πονηρὰ πνεύματα, ὡς φοβερὰ μάστιξ ἐκδιώκει, καὶ νίκην κατ᾽ αὐτῶν, Καλανδίων τάχος, ἰάσεις χαρίζεται.

Λαὸς τῆς Πάφου πιστῶς, ἐπὶ τῇ μνήμῃ τοῦ Καλανδίωνος, λαμπρῶς γεραίρει, καὶ τοῦτον ᾄσμασι θείοις ὑμνεῖ, ἐν ὅλῃ καρδίᾳ, φαιδρῶς ἀγαλλόμενος.

Θεοτοκίον.

Ὡραιωθεῖσα Σεμνή, τῇ ἐπελεύσει τοῦ σεπτοῦ Πνεύματος, Θεὸν μαζοῖς θηλάζεις, καὶ τοῦτων συνέχεις ἀγκάλαις, τὸν πᾶσαν τὴν κτίσιν, παλάμαις συνέχοντα.

Ὠδὴ ϛ΄.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος.

Ἀρετῶν ὁρμαθὸν κατεπλούτησας, τήν τε θεωρίαν τῶν ἄνω ἐπέτυχες· διὸ πολλῶν ἠξίωσαι, Καλανδίων θαυμάτων τῇ ποίμνῃ σου.

Συνελθόντας ἡμᾶς καὶ τελοῦντάς σου, μνήμην τὴν παγγέραστον ἔνδοξε Ἅγιε, ἀπὸ κινδύνων λύτρωσαι, ἀναγκῶν καὶ δεινῶν περιστάσεων.

Θαυμαστὸς ὁ Θεὸς ὁ δωρούμενος, σοὶ θείαν ἐνέργειαν τῶν θαυμασίων σου, καὶ τὴν πληθὺν ἰάσεων, ἃς δεχόμενοι πάντες τιμῶμέν σε.

Θεοτοκίον.

Τὸν ἀπόρρητον τρόπον τοῦ τόκου σου, γλῶσσαι γηγενῶν καὶ Ἀγγέλων γεραίρουσι, τῶν ποιημάτων Δέσποινα, ὑπερτέραν σε πάντων δοξάζουσαι.

Κοντάκιον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῶν θαυμάτων εἴληφας, τὴν θείαν χάριν θεόφρον, Καλανδίων ἅγιε, θαυματουργὲ θεοφόρε, ἅπαντα, τὰ τῶν πιστῶν πάθη ἀποκαθαίρων, πνεύματα, τῆς πονηρίας πάτερ ἐλαύνων· διὰ τοῦτό σε ὑμνοῦμεν, ὡς μέγαν μύστην Θεοῦ τῆς χάριτος.

Ὁ Οἶκος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὃς ἐθαυμάστωσε καὶ τὸν αὐτοῦ θεράποντα ἱερὸν Καλανδίωνα. Διὰ γὰρ τὴν ἱερὰν καὶ σεβάσμιον πολιτείαν καὶ τὸν ἐνάρετον βίον αὐτοῦ, ὁ Κύριος ἐδόξασε τοῦτον ἐπὶ τῆς γῆς, διὰ τῆς τῶν θαυμάτων ἐνεργείας, καὶ ἐν τοῖς οὐρανοῖς μετὰ τῶν ἐνδόξων Ἱεραρχῶν τε καὶ Ὁσίων, κατ᾽ ἀξίαν ἐσκήνωσεν· διὸ οἱ τῷ θείῳ αὐτοῦ ναῷ μετὰ πίστεως προσπελάζοντες, καὶ αὐτοῦ τὰ ἱερὰ λείψανα μετ᾽ εὐλαβείας ἀσπαζόμενοι, τῶν ἰαμάτων τὴν χάριν ἀρύονται· τὴν δὲ τῶν Ἀρόδων κώμην φυλάττει ἐκ πάσης περιστάσεως, καὶ φρουρεῖ αὐτὴν ἀκύμαντον ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως, ὡς μέγας μύστης Θεοῦ τῆς χάριτος.

Συναξάριον.

Τῇ ΚϚ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἱεράρχου Καλανδίωνος, ἀσκήσαντος ἐν Ἀρόδαις Πάφου καὶ τῶν συνασκητῶν αὐτοῦ Ἀγαπίου καὶ Βαρλαάμ.

Στίχοι.

Σορῷ καλυφθεὶς θαυματουργὸς Καλανδίων,
Οὐ συγκαλύπτει τὴν χάριν τῶν θαυμάτων.

Φαρμουθὶ δεκάτῃ Καλανδίωνος νέκυς ὑπέδυ χθόνα.

Ὁ ἅγιος Καλανδίων τιμᾶται ἐν τῇ κώμῃ Πάνω Ἀρόδαι τῆς Πάφου ὡς ἱεράρχης θαυματουργός, μετὰ τῶν ὁσίων Ἀγαπίου καὶ Βαρλαάμ.

Ἐν τῷ ναῷ τοῦ χωρίου, ὅστις εἶναι κτίσμα μεσαιωνικῆς ἐποχῆς, ἐπισκευασθέν τὸν 18ον αἰῶνα, σώζεται τεμάχιον τοῦ ἱεροῦ αὐτοῦ λειψάνου.

Δύο εἰκόνες τοῦ Ἁγίου, μία μεγάλη προσκυνηματικὴ τοῦ 18ου αἰῶνος καὶ ἄλλη τοῦ ἔτους 1901, ἐμφανίζουσιν αὐτὸν ὡς ἱεράρχην. Ἡ ἀκολουθία αὐτοῦ ἀναφέρει ὅτι «διὰ τὴν ἱερὰν καὶ σεβάσμιον πολιτείαν καὶ τὸν ἐνάρετον βίον αὐτοῦ, ὁ Κύριος ἐδόξασε τοῦτον ἐπὶ τῆς γῆς, διὰ τῆς τῶν θαυμάτων ἐνεργείας, καὶ ἐν τοῖς οὐρανοῖς μετὰ τῶν ἐνδόξων Ἱεραρχῶν τε καὶ Ὁσίων, κατ' ἀξίαν ἐσκήνωσεν· διὸ οἱ τῷ θείῳ αὐτοῦ ναῷ μετὰ πίστεως προσπελάζοντες, καὶ τοῖς ἱεροῖς λειψάνοις αὐτοῦ μετ' εὐλαβείας ἀσπαζόμενοι, τῶν ἰαμάτων τὴν χάριν ἀρύονται».

Τὴν ὕπαρξιν τῶν λειψάνων αὐτοῦ μνημονεύει ὁ Λεόντιος Μαχαιρᾶς ἐν τῷ Χρονικῷ αὐτοῦ λέγων «νὰ σᾶς δείξω καὶ πόσα σώματα τῶν ἁγίων εὑρέθησαν... εἰς τὴν Ἀρόδαν ὁ ἅγιος Καλάντιος, ὁ ἅγιος Ἀγάπιος καὶ ὁ ἅγιος Βαρλαάμ».

Νοτιοανατολικῶς τῆς κώμης Πάνω Ἀρόδαι εὑρίσκεται ἁγίασμα ἀφιερωμένον εἰς τὸν ἅγιον Καλανδίωνα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ὁσίου πατρὸς ἡμῶν Γεωργίου τοῦ Χρυσοστομίτου, Κτίτορος τῆς ἐν Κύπρῳ ἁγίας Μονῆς τοῦ Χρυσοστόμου τοῦ Κουτζουβένδου.

Στίχοι.

Τῆς Κυπρίων καύχημα τῶν ἀζυγίων,
Τὸν ἐνδοθυρίζοντα μονῆς Κουτζούνβε.

Ἐν μονοτρόποις κάλλιστον ὑμνῳδέω Γεώργιον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως, Ἐπισκόπου Ἀμασείας.

Στίχοι.

Τμηθείς, Βασιλεῦ, βασιλεὺς πόλου γίνῃ,
Ἐξ αἱμάτων σῶν βάμμα κόκκινον φέρων.

Εἰκάδα ἀμφ' ἕκτην Βασιλεὺς ξίφει αὐχένα κάρθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἁγία Γλαφύρα ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Θεὸν Γλαφύρα ψυχικῶν δι' ὀμμάτων
Οὐ γλαφυρῶς νῦν, ἀλλὰ τηλαυγῶς βλέπει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ὁσία Ἰοῦστα ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Τρόπον σελήνης πλησιφαοῦς Ἰοῦσταν,
Λάμψασαν ἔργοις, μνήματος κρύπτει νέφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ ὅσιος Νέστωρ, τοὺς γονεῖς καταλιπὼν καὶ μονάσας, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Τοὺς οὐρανοὺς ἱδρῶσι Νέστωρ ἐπρίω,
Δι' οὓς φύσιν τύραννον ἠρνήσω θέσει.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄.

Εἰκόνος χρυσῆς.

Τῇ θείᾳ ῥοπῇ, ἀδιάφθορα τηρεῖται τὰ ἐντάφια· καὶ τὰ ὀστᾶ δὲ θείῳ νεύματι, τὴν ἁρμονίαν μὴ λύσαντα, πᾶσαν ἀκαθάρτων πνευμάτων, διασκεδάζει κακόνοιαν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Συντρέχει λαός, εὐσεβὴς τῇ ἱερᾷ σου πανηγύρει, καὶ ἱερέων σεπτὸς σύλλογος, ἐνθέῳ πίστει προσψαύοντες, εὐλαβῶς σῇ θήκῃ λειψάνων, καὶ ἰώμενοι ψάλλουσιν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ποιμένος Χριστοῦ, ἐν πραότητι ψυχῆς ὤφθης ἀρνίον· καὶ ὑπὸ τούτου ποιμαινόμενος, ποιμὴν προβάτων ἐν Πνεύματι, πάτερ λογικῶν ἀνεδείχθης, σὺν αὐτοῖς μέλπων πάντοτε· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Χριστοῦ τὴν φρικτήν, παρουσίαν ἐννοῶν ἐν κατανύξει, πάντα τὸν βίον διετέλεσας, ἕως οὗ εὗρες μακάριε, κάθαρσιν πταισμάτων τελείαν,

καὶ αἰωνίαν παράκλησιν, καὶ φωτισμὸν ἀληθινόν, καὶ δόξαν ἄῤῥητον.

Θεοτοκίον.

Μαρία σεμνή, ἀειπάρθενε Ἁγνὴ εὐλογημένη, καταπιπτόντων ἐπανόρθωσις, ἁμαρτανόντων ἡ λύτρωσις, σῶσόν με τὸν ἄσωτον σῶσον, τῷ Υἱῷ σου κραυγάζοντα· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄.

Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὁ καθαρώτατός σου νοῦς, καθαραῖς προσομιλῶν φωτοχυσίαις, τῶν δαιμόνων τὸ σκότος, καὶ τῶν παθῶν τὴν ἀχλύν, ἐμφρόνως ἐξέκλινεν Ὅσιε, Χριστὸν ἀνυμνεῖτε, κραυγάζων εἰς αἰῶνας.

Πεπυρωμένα τοῦ ἐχθροῦ, βέλη ἔσβεσας σοφὲ ταῖς ἐπομβρίαις, τῶν ἀπαύστων δακρύων· καὶ πυρωθεὶς τῇ Χριστοῦ, ἀγάπῃ παμμάκαρ κατέφλεξας, τὰς ὑλομανούσας, τῶν ἡδονῶν ἀκάνθας.

Τοῦτο τὸ ποίμνιον σοφέ, ὃ συνήγαγες ταῖς σαῖς διδασκαλίαις, καὶ τοὺς πίστει τελοῦντας, τὴν ἱερὰν καὶ σεπτήν, καὶ πλήρη φωτὸς θείαν μνήμην σου, φύλαττε εὐχαῖς σου, πειρασμῶν καὶ κινδύνων.

Θεοτοκίον.

Ζῶσα ὑπάρχουσα πηγή, ὡς τὸ ὕδωρ τῆς ζωῆς ἀποτεκοῦσα, τὴν ψυχήν μου τακεῖσαν, τῆς ἁμαρτίας φλογμῷ, Παρθένε Θεοτόκε πότισον, ἵνα σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄.

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὤφθης ὡς ἥλιος μέγας, καταυγάζων τὴν Κύπρον, σημείοις θεοφόρε φοβεροῖς, καὶ ἀρετῶν ἀναλάμψεσι· διὰ τοῦτο τελοῦμεν, τὴν μνήμην σου τὴν ὄντως φωταυγῆ, φωτιζόμενοι πάτερ, καρδίας αἰσθητήρια.

Σὲ τῶν Ἀρόδων ἡ κώμη, καὶ τῆς Πάφου ὁ δῆμος, ἡμέρας εὐφημοῦσι καὶ νυκτός, μέσον τὸ σῶμά σου ἔχοντες, ἀναβλύζον πλουσίως, θαυμάτων ποταμοὺς πάτερ σοφέ, καὶ φωτίζον τὰ τούτων, ἀπαύστως διαβήματα.

Διὰ παντὸς Καλανδίων, σοῦ Δεσπότου τῷ θρόνῳ, θεόφρον παρεστὼς ἱκετικῶς, μὴ ἐπιλάθου ποιμνίου τοῦ σοῦ, ἵνα τύχωμεν πάντες ἀφράστου χαρᾶς ἐν οὐρανοῖς, μελῳδοῦντες ἐν πόθῳ, τὸν ὕμνον τὸν τρισάγιον.

Θεοτοκίον.

Φωτοκυῆτορ Παρθένε, τῆς ψυχῆς μου τὰ νέφη, ἀπέλασον καὶ δίδου καθαρῶς, προσενοπτρίζεσθαι Δέσποινα, τὸ σωτήριον κάλλος, τοῦ λάμψαντος ἀῤῥήτως ἐκ τῆς σῆς, παναγίας νηδύος, εἰς φῶς ἐθνῶν πανύμνητε.

Ἐξαποστειλάριον.

Γυναῖκες ἀκουτίσθητε.

Τὸν νοῦν καθάρας ἔνδοξε, τῆς τῶν παθῶν συγχύσεως, τρανῶς ἐδέξω τὴν χάριν, τοῦ Πνεύματος Καλανδίων, ἰᾶσθαι τὰ νοσήματα, ἐλαύνειν τε τὰ πνεύματα, Ἱεραρχῶν ἀγλάϊσμα· καὶ νῦν πρεσβεύων μὴ παύσῃ, ὑπὲρ ἡμῶν θεοφόρε.

Ἕτερον. Ὅμοιον.

Τὸν μέγαν Καλανδίωνα, καὶ Ἱεράρχην ἔνδοξον, τοῦ Λόγου τὸν μέγαν μύστην, Ἀρόδων τὸν πολιοῦχον, καὶ θεῖον ἀντιλήπτορα, ὡς ποταμὸν ἰάσεων, καὶ συμπαθείας θάλασσαν, ἀνευφημήσωμεν πάντες, τὴν μνήμην τούτου τελοῦντες.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἱερομύστης τοῦ Λόγου πάτερ γενόμενος, καὶ ἀρεταῖς ἐκλάμψας, τῇ τοῦ Πνεύματος αἴγλῃ, τρισμάκαρ Καλανδίων παρέχεις ἡμῖν, ἰαμάτων χαρίσματα, τοῖς ἐν τῇ μνήμῃ σου ταύτῃ τῇ ἱερᾷ, προσιοῦσι καὶ τιμῶσί σε.

Ταῖς οὐρανίαις ἀκτῖσι περιλαμπόμενος, τῇ τοῦ Χριστοῦ δυνάμει, τὰς ἰάσεις παρέχεις, τοῖς πί-

στει σε αἰτοῦσι καὶ εὐσεβῶς, ἐκτελοῦσι τὴν μνήμην σου, θεομακάριστε πάτερ θαυματουργέ, Καλανδίων ἀξιάγαστε.

Ἡ θεία μνήμη σου μάκαρ ἡμᾶς συνήγαγε, ἐν τῷ σεπτῷ ναῷ σου, ἑορτάσαι τιμίως· ἐν κώμῃ τῶν Ἀρόδων τελοῦντας φαιδρῶς, τὸ μνημόσυνον ἅγιε, ἣν περιφύλαττε πάντοτε ἀσινῆ, Καλανδίων παναοίδιμε.

Τοῦ ἀμπελῶνος ἐργάτης διὰ τῆς πράξεως, τῶν ἐντολῶν ἐδείχθης, τοῦ Χριστοῦ θεοφόρε· διὸ τῆς Βασιλείας τῆς ἄνω λαβών, μυστικῶς τὸ δηνάριον, Αὐτὸν ἱκέτευε πάτερ ὑπὲρ ἡμῶν, ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι.

Δόξα... Ἦχος πλ. β΄.

Δεῦτε τῶν ὀρθοδόξων τὸ σύστημα, προσδράμωμεν ἐν τῷ σεπτῷ ναῷ τοῦ ἱεράρχου τοῦ Χριστοῦ, τῆς Πάφου τοῦ φωσφόρου λαμπτῆρος, τῶν Ἀρόδων φρουροῦ τε καὶ πολιούχου, τοῦ θαυματουργοῦ Καλανδίωνος, καὶ μετὰ πίστεως αἰδοῦς καὶ εὐλαβείας, τῶν λειψάνων προσψαύσωμεν, ἵνα ἁγιασμοῦ καὶ χάριτος ἐμπλησθῶμεν, τῶν θαυμάτων τὰς ἰάσεις ἀπολαύσωμεν, καὶ τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν ὁμοφρόνως δοξάσωμεν κράζοντες· Κύριε διὰ τοῦ σοῦ θεράποντος, ἐλέησον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... τῆς Ἑορτῆς.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου Ὠδὴ γ΄ καὶ ϛ΄.

Ὁ Ἀπόστολος.

Προκείμενον, Ἦχος δ΄ (Ψαλμ. ρμθ΄).

Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

**Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.**

(Κεφ. ε΄ 8-19).

(Ζήτει τῇ Δευτέρᾳ τοῦ ἁγίου Πνεύματος).

Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε· ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι. Διὸ λέγει· Ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Ἀλληλούϊα (γ΄), Ἦχος α΄ (Ψαλμ. ρλα΄).

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών..

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Ἰωάννην.**

(Κεφ. ιε΄ 17 - ιϛ΄ 2).

(Ζήτει τῷ Σαββάτῳ τῆς Γ΄ Ἑβδομάδος Ἰωάννου).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ...

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

# ΠΗΓΑΙ ΚΑΙ ΒΟΗΘΗΜΑΤΑ

## 1. Πηγαί.

### α) Ἔντυπος ἔκδοσις.

Ἱερὰ ἀκολουθία τοῦ ἁγίου ἱεράρχου Καλανδίωνος ψαλλομένη τῇ 26ῃ Ἀπριλίου, ἐκδοθεῖσα δαπάνῃ Α. Πατσαλίδου, Γ. Πατσαλίδου, Ε. Σ. Σεραφίδου, Δ.Κ. Φλεβοτόμα. Ἐργόχειρον Δ. Χατζηκυριάκου, ἐξ οὗ ἕλκει τὸ γένος, τῆς Οἰκογενείας Φλεβοτόμα, κατὰ τὸ ἔτος 1904.

Φωτοαντίγραφον τῆς σπανίας αὐτῆς ἐκδόσεως γενομένης ἐν Ἀλεξανδρείᾳ καὶ εὑρισκομένης ἐν τῷ ἱ. ναῷ ἁγίου Καλανδίωνος ἐν Πάνω Ἀρόδαις, ἐξησφαλίσαμεν μερίμνῃ τοῦ ἀειμνήστου φιλολόγου - Γυμνασιάρχου Ἰωάννου Λοϊζίδου.

Ἐπὶ τῇ βάσει αὐτῆς ἐγένετο ἡ παροῦσα ἔκδοσις, διορθωθεῖσα εἴς τινα σημεῖα ὑπὸ τῶν ὁσιολ. Χαρίτωνος Σταυροβουνιώτου, Ἀνδρέου Βαρνάβα καὶ Θεοχάρους Σχίζα. Προσετέθη ἐπίσης γ΄ τροπάριον τῆς θ΄ ᾠδῆς τοῦ Κανόνος, ποιηθὲν ὑπὸ τοῦ ὁσιολογιωτάτου μοναχοῦ Χαρίτωνος Σταυροβουνιώτου.

### β) Δακτυλογράφησις.

Ἱερὰ Ἀκολουθεία (sic) τοῦ Ἁγίου Ἱεράρχου Καλανδίωνος Ψαλλομένη τῇ 26ῃ Ἀπριλλίου (sic) ἑκάστου ἔτους. Τὸ παρὸν ἐδακτυλογραφήθη ἐν Κτήματι τῇ 23ῃ Φεβρουαρίου τοῦ ἔτους 1951, ὑπὸ τοῦ Σοφοκλῆ Γ. Χωραττᾶ, 1951.

### γ) Βίοι - Συναξάρια.

1) Θεοδώρου Χ. Παπαδοπούλλου, Ἐκ τῆς ἀρχαιοτάτης Ἱστορίας τοῦ Πατριαρχείου Ἱεροσολύμων, Τὸ κείμενον ἀρχαίας παραδόσεως περὶ ἐπισκέψεως τῆς ἁγίας Ἑλένης εἰς Παλαιστίνην καὶ Κύπρον, Ἀνάτυπον ἐκ τοῦ Περιοδικοῦ «Νέα Σιών», Ἐν Ἱεροσολύμοις 1952, Χειρόγραφον Additional/ 34554 Βρεττανικοῦ Μουσείου «Εἰς τὴν Ἀρόδαν ὁ ἅγιος Καλάντιος καὶ ὁ ἅγιος Ἀγάπιος καὶ ὁ ἅγιος Βαρλαάμ», σ. 30.

2) Λεοντίου Μαχαιρᾶ, Ἐξήγησις τῆς γλυκείας χώρας Κύπρου, ἡ ὁποία λέγεται Κρόνακα τοὐτ᾽ ἔστιν Χρονικόν. Edited by R. M. Dawkins, Oxford 1932, vol. I, παρ. 32, σ. 32, vol. II, σ. 62.

3) Florio Bustron, Chronique del île de Chypre, par M. René de Mas Latrie, Paris 1884, σ. 34, ὑπὸ Θεοδώρου Παπαδοπούλλου, Λευκωσία 1998, σ. 34.

4) Chronique de Strambaldi, Par R. de Mas Latrie, Paris 1891, σ. 14.

5) Ἀρχιμανδρίτου Κυπριανοῦ, Ἱστορία χρονολογικὴ τῆς νήσου Κύπρου, ͵αψπη΄, Ἐνετίησιν ἐν ἔτει 1788, σ. 352.

6) H. Delehaye, Saints de Chypre, *Analecta Bollandiana,* τόμ. XXVI, Βρυξέλλαι 1907, σ. 253.

7) Ἰωάννου Χάκκετ, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καὶ συμπλήρωσιν Χαριλάου Ἰ. Παπαϊωάννου, τόμ. Β΄, Ἐν Πειραιεῖ 1927, σσ. 282, 277, 279.

8) Σωφρονίου Εὐστρατιάδου, πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, 1935, Ἔκδοσις Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, σσ. 244, 323, 7-8, 71.

9) Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ΄, Κύπρος, ἡ ἁγία νῆσος, Ἀθῆναι 1968, σσ. 29-30, 6-7, 12, Λευκωσία 1997, σσ. 35, 11, 16.

10) Γεωργίου Κάκκουρα, Ὁ ὅσιος Καλανδίων, ἐν «Πνευματικὴ ἔπαλξη», τεῦχος 29, Μάρτιος - Ἀπρίλιος 1998, σσ. 62-63.

11) Ἱερᾶς Μονῆς Σταυροβουνίου, Ἀσματικὴ ἀκολουθία τῶν ἐν Κύπρῳ ἁγίων, Κύπρος 1988, σσ. 41, 64, 129, 115, 118, 153.

12) Βλασίου Μοναχοῦ, Πατερικὸν τῆς νήσου Κύπρου, (Ἅγιοι Ἀσκητὲς καὶ Σπήλαια τῆς Κύπρου), Λάρνακα 1997, σσ. 90-91. Οἱ ὅσιοι Καλαντίων ὁ ἐπίσκοπος, Ἀγάπιος καὶ Βαρλαάμ.

13) Macaire, hiéromoine de Simonos Petras, Le Synaxaire, Vies des Saints de l' Église Orthodoxe, tome quatrième, Avril (16 au 30), Mai, Juin, Éditions «To Perivoli tis Panaghias» Thessalonique 1993, σ. 93, tome premier, Septembre - Octobre - Novembre 1987, σσ. 544-545, 19 Novembre Memoire du saint martyr Barlaam d' Antioche, tome second Decembre - Janvier, 1988, σσ. 499-500, 24 Janvier Le saint hiéromartyr Babylas d' Antioche et ses deux compagnons Agapios et Timothée, martyrisés en Sicile.

14) Ὁ ἅγιος Καλανδίων μνημονεύεται ὡς ἱεράρχης, χωρὶς νὰ ἀναφέρεται ἡ ἐπισκοπὴ αὐτοῦ. Δεδομένου ὅτι δὲν συμπεριλαμβάνεται εἰς τοὺς ἐπισκοπικοὺς καταλόγους τῶν Μητροπολιτῶν Πάφου, οὔτε ἐπευφημεῖται εἰς τὴν ἀκολουθίαν του ὡς ἐπίσκοπος Πάφου, δυνάμεθα νὰ εἰκάσωμεν ὅτι εἶναι εἷς τῶν ἔξωθεν ἐλθόντων ἱεραρχῶν, ὅστις ἐτελειώθη ὁσιακῶς εἰς τὴν περιοχὴν τῶν Πάνω Ἀρόδων.

Ὡς πιθανὰς ἐποχὰς τῆς ἐλεύσεως αὐτοῦ σημειοῦμεν τὰς ἀκολούθους:

1) Ἐὰν ταυτισθῇ πρὸς τὸν Καλανδίωνα, Ἀρχιεπίσκο-

πον Ἀντιοχείας (482-485), τότε ἀφίκετο εἰς τὴν Κύπρον περὶ τὰ τέλη τοῦ 5ου αἰῶνος. Ὁ Καλανδίων οὗτος ἐχειροτονήθη ὑπὸ τοῦ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Ἀκακίου, κατ' ἐντολὴν τοῦ αὐτοκράτορος Ζήνωνος. Ὑπῆρξε φλογερὸς ὑποστηρικτὴς τῆς Συνόδου τῆς Χαλκηδόνος καὶ μετέφερε, τῇ ἀδείᾳ τοῦ αὐτοκράτορος Ζήνωνος, πανηγυρικῶς τὰ ὀστᾶ τοῦ Ἀντιοχείας Εὐσταθίου εἰς τὴν Ἀντιόχειαν περὶ τὸ 483, κατώρθωσε δὲ νὰ ἐπανενώσῃ τοὺς Ὀρθοδόξους τῆς Ἀντιοχείας, ἀποκαταστήσας οὕτω τὴν ἑνότητα αὐτῶν, διασαλευθεῖσαν κατὰ τὸ λεγόμενον Μελιτιανὸν σχίσμα. Ἐπειδὴ ὅμως δὲν ὑπέγραψε τὸ «Ἑνωτικὸν» τοῦ Ζήνωνος, διὰ τοῦ ὁποίου ἐπεχειρεῖτο συμβιβασμὸς μεταξὺ Ὀρθοδοξίας καὶ Μονοφυσιτισμοῦ, ὁ Ζήνων ἐξώρισεν αὐτὸν εἰς τὴν Μεγάλην Ὄασιν τῆς Ἔγγιστα Θηβαΐδος τῆς Αἰγύπτου.

Οἱ Ἀγάπιος καὶ Βαρλαὰμ ἔλαβον τὰ ὀνόματα αὐτῶν πρὸς τιμὴν τῶν μαρτύρων τῆς Ἐκκλησίας Ἀντιοχείας Ἀγαπίου (Ἰανουαρίου 24) καὶ Βαρλαὰμ (Νοεμβρίου 19), διὰ τοὺς ὁποίους ἔγραψαν ἐγκώμια ὁ Μ. Βασίλειος καὶ ὁ Ἰωάννης ὁ Χρυσόστομος.

2) Εἶναι δυνατὸν νὰ θεωρήσωμεν ὅτι ὁ Καλανδίων ἦτο εἷς τῶν τριακοσίων τῶν καταφυγόντων εἰς Κύπρον, κατὰ τὴν ἐπιδρομὴν τῶν Σαρακηνῶν εἰς τὴν Γῆν τῆς Ἐπαγγελίας καὶ τὴν ἐκεῖθεν ἐκδίωξιν τῶν χριστιανῶν. Ἀναφέρει τὸ χειρόγραφον τοῦ Βρεττανικοῦ Μουσείου Additional/34554, τὸ ὁποῖον ἐδημοσίευσεν ὁ κ. Θεόδωρος Παπαδόπουλλος (ἐν «Νέα Σιών», 1952, ἀνατύπωσις, σ. 28): «Ὅταν ὁ ἐχθρὸς τῆς ἀληθείας ἀνάγκασεν τοὺς ἀπίστους σαρακηνοὺς ἐξ ἁμαρτιῶν μας καὶ ἐπῆραν τὴν γῆν τῆς ἐπαγγελίας καὶ ἐδίωξαν τοὺς χριστιανούς, τότε ἐξέβησαν καὶ ἐγλυτῶσαν ἀπ' ἐκείνους, καὶ ηὕρασιν καταφύγιον οἱ ἀρχιεπισκόποι, ἱερεῖς καὶ λαϊκοί, καὶ ἦλθαν εἰς τὴν αὐτὴν νῆσον Κύπρον ὁμάδα τριακοσίων ἀνδρῶν ὀνόματα». Εἰς δὲ τὰς σσ. 29-30 τὸ αὐτὸ χειρόγραφον σημειώνει: «Καὶ ἔδωκαν τὸ τέλος τους εἰς τὴν αὐτὴν νῆσσον καὶ πολλοὶ ἐξ αὐτοὺς ἐφανερώθησαν ὑπὸ ἀγγέλου, ἕτεροι ὑπὸ τῶν ἀπείρων αὐτῶν θαυμάτων... Καὶ εὑρίσκονται εἰς τὴν Ἀρόδαν ὁ ἅγιος Καλάντιος καὶ ὁ ἅγιος Ἀγάπιος καὶ ὁ ἅγιος Βαρλαάμ». Τὰ αὐτὰ ἐπαναλαμβάνει καὶ ὁ χρονογράφος Λεόντιος Μαχαιρᾶς (ἔκδοσις Dawkins, Oxford 1932, τόμ. I, σσ. 28-32), λέγων: «Εἰς τὴν Ἀρόδαν ὁ ἅγιος Καλάντιος, ὁ ἅγιος Ἀγάπιος καὶ ὁ ἅγιος Βαρλαάμ».

Συμφώνως πρὸς τὰς ἀνωτέρω μαρτυρίας ὁ Καλανδίων ἦλθεν εἰς τὴν Κύπρον τὸν 7ον αἰῶνα ἐκ τῆς Συρίας, μετὰ τοῦ Ἀγαπίου καὶ τοῦ Βαρλαάμ, οἱ ὁποῖοι ἔφερον ὀνόματα ἁγίων μαρτύρων τῆς Ἐκκλησίας Ἀντιοχείας. Ὁ Καλανδίων ἔλαβε τὸ ὄνομα αὐτοῦ πρὸς τιμὴν τοῦ ἀρχιεπισκόπου Ἀντιοχείας Καλανδίωνος.

3) Ὀλιγώτερον πιθανὴ παρουσιάζεται ἡ ἐκδοχὴ ὅτι ὁ Καλανδίων εἶναι μεταξὺ αὐτῶν, τοὺς ὁποίους ἀναφέρει ὁ χρονογράφος Θεοφάνης ὁ ὁμολογητὴς (768 - 817). Οὗτος λέγει ὅτι τὸ ἔτος 812, ἐπὶ αὐτοκράτορος Μιχαὴλ Α΄ τοῦ Ραγκαβὲ (811-813) καὶ Πατριάρχου Κωνσταντινουπόλεως Νικηφόρου Α΄ (806-813), ἦλθον εἰς τὴν Κύπρον πολλοὶ χριστιανοὶ ἐκδιωχθέντες ὑπὸ τῶν Ἀράβων. «Τῷ δὲ αὐτῷ ἔτει πολλοὶ τῶν κατὰ Παλαιστίνην Χριστιανῶν μοναχοὶ καὶ λαϊκοὶ καὶ ἐκ πάσης Συρίας τὴν Κύπρον κατέλαβον φεύγοντες τὴν ἄμετρον κάκωσιν τῶν Ἀράβων...», «καὶ οἱ μὲν ἀνῃρέθησαν μαρτυρικῶς, οἱ δὲ τὴν Κύπρον κατέλαβον καὶ ἐκ ταύτης τὸ Βυζάντιον, οὓς Μιχαήλ, ὁ εὐσεβὴς βασιλεύς, καὶ Νικηφόρος, ὁ ἁγιώτατος πατριάρχης, φιλοφρόνως ἐξένισαν, τοῖς μὲν γὰρ ἐλθοῦσιν ἐν τῇ πόλει μοναστήριον ἐπίσημον ἐδωρήσατο, τοῖς δὲ κατὰ τὴν Κύπρον ἐναπομείνασι μοναχοῖς τε καὶ λαϊκοῖς τάλαντον χρυσίου ἀπέστειλεν καὶ παντοίως τούτους ἐθεράπευσεν» (Θεοφάνους Χρονογραφία, ἔκδοσις Carolus de Boor, ἐπανατύπωσις, 1963, σ. 499).

4) Ἀκόμη πλέον ἀπίθανος εἶναι ἡ ἄποψις ὅτι ὁ Καλανδίων εἶναι εἷς τῶν μετὰ Αὐξεντίου πρῴην στρατιωτικῶν, οἱ ὁποῖοι ἐγκαταλείψαντες τοὺς Σταυροφόρους ἐμόνασαν εἰς διάφορα μέρη τῆς Κύπρου, διότι σαφῶς ἡ ἀκολουθία ὀνομάζει τοῦτον ἱεράρχην καὶ οὐχὶ ἁπλῶς ὅσιον, οὐδεμία δὲ μνεία γίνεται περὶ προηγουμένης θητείας αὐτοῦ εἰς τὸν στρατόν.

## 2. Βοηθήματα.

### α) Μελέται.

1) H. Follieri, Initia Hymnorum Ecclesiae Graecae, Vol. V, Pars altera, Città Del Vaticano 1966, σ. 9. Ἀγάπιος μάρτυς Jan. 24, Βαρλαὰμ μάρτυς Nov. 16, 19.

2) Καλανδίων. Πατριάρχης Ἀντιοχείας, Θ.Η.Ε., τόμ. 7ος, Ἀθῆναι 1965, σ. 208 Ἀγάπιος μαθητὴς ἱερομάρτυρος Βαβύλα συνεορταζόμενος (24 Ἰανουαρίου), Θ.Η.Ε., τόμ. 1ος, Ἀθῆναι 1962, σ. 151, Βαρλαὰμ μάρτυς ἑορταζόμενος 19ην Νοεμβρίου, Θ.Η.Ε., τόμ. 3ος, Ἀθῆναι 1963, σ. 623.

3) Ἀρχιεπισκόπου Ἀθηνῶν Χρυσοστόμου Παπαδοπούλου, Ἱστορία τῆς Ἐκκλησίας Ἀντιοχείας, Ἐν Ἀλεξανδρείᾳ 1951, σσ. 428-441 Ἀνωμαλίαι μετὰ τὴν Δ΄ Οἰκουμενικὴν Σύνοδον, σ. λη΄ Χρονολογικὸς πίναξ πατριαρχῶν Ἀντιοχείας, Καλανδίων 481-485.

4) Sacrorum Conciliorum nova, et amplissima collectio, Tomus septimus, Florentiae MDCCLXII, σσ. 1023-1024 Binae Synodi Antiochenae anno Christi CDLXXXII habitae.

5) Ernest Honigmann, Le Synekdèmos d' Hiéroklès et l' opuscule géographique de Georges de Chypre, Bruxelles 1939, σ. 47 Ὄασις μεγάλη.

6) Ἀρχιμ. Βασιλείου Κ. Στεφανίδου, Ἐκκλησιαστικὴ Ἱστορία, Δευτέρα ἔκδοσις, Ἀθῆναι 1959, σσ. 203-206 Μελιτιανὸν σχίσμα, σσ. 290-291 Ὁ Ἀκάκιος ἐχειροτόνησεν ἐν Κωνσταντινουπόλει δύο πατριάρχας τῆς Ἀντιοχείας (τὸν Στέφανον 479 καὶ τὸν Καλανδίωνα 482).

7) Μεγάλου Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, Τὰ εὑρισκόμενα πάντα, Ὁμιλία ιζ΄ Εἰς

Βαρλαὰμ μάρτυρα, P.G., τόμ. 31, σσ. 484-490.

8) Ἰωάννου Χρυσοστόμου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Τὰ εὑρισκόμενα πάντα, Ἐγκώμιον εἰς τὸν ἅγιον μάρτυρα Βαρλαάμ, P.G., τόμ. 50, σσ. 675-682.

9) Theophanis Chronographia, Recensuit Carolus de Boor, Volumen I, Hildesheim 1963, σ. 128 Ζήνων ἐκέλευσεν Ἀκάκιον τὸν Κωνσταντινουπόλεως χειροτονῆσαι ἐπίσκοπον Ἀντιοχείας· καὶ ἐχειροτόνησε Καλανδίωνα. σ. 129 Ἀντιοχείας ἐπίσκοπος Καλανδίων ἔτη δ΄. σ. 133 Τούτῳ τῷ ἔτει Καλανδίων, ἐπίσκοπος Ἀντιοχείας, ἤγαγε τὸ λείψανον Εὐσταθίου τοῦ μεγάλου ἀπὸ Φιλίππων, ἔνθα καὶ ἐξόριστος ἐκοιμήθη ὁ ἅγιος· καὶ μετὰ πολλῆς τιμῆς ἀπὸ δέκα μιλίων ἡ πόλις Ἀντιοχέων ὑπήντησεν, A.M. 5981. Τούτῳ τῷ ἔτει (A.M. 5982) Ζήνων δὲ ὁ βασιλεὺς ἀνεθεὶς τῶν τυράννων, ἐξέβαλε τῆς ἐκκλησίας Ἀντιοχέων Καλανδίωνα καὶ ἐξώρισεν εἰς Ὄασιν. Volumen II, σ. 635 Καλανδίων.

10) Εὐαγρίου Σχολαστικοῦ Ἐπιφανέως καὶ ἀπὸ ἐπάρχων Ἐκκλησιαστικῆς Ἱστορίας τόμ. ς΄, P.G., τόμ. 86Β, σσ. 2613-2616, κεφ. ι΄, Περὶ τῶν ἐν Ἀντιοχείᾳ ἐπισκοπησάντων.

11) Σίμου Μενάρδου, Τοπωνυμικὸν τῆς Κύπρου, Ἔκδοσις Κ.Ε.Ε., Λευκωσία 1970, σσ. 74-75, 80 Ἀρόδες, Ἀρόδα.

12) George Jeffery, A description of the Historic Monuments of Cyprus, Cyprus 1918, Ἐπανέκδοσις, Λονδῖνον 1983, σ. 411 The double village of Arodhes (St. Kalandion).

13) Rupert Gunnis, Historic Cyprus, First published May 14th 1936, Second Edition 1947, London, σ. 177 Arodhes.

14) Νεοκλῆ Κυριαζῆ, Τὰ χωρία τῆς Κύπρου, Λάρνακα 1940, σσ. 54-55, 84 Arodes, Θέρμια.

15) Νεάρχου Κληρίδη, Χωριὰ καὶ πολιτεῖες τῆς Κύπρου, Λευκοσία 1961, σ. 47 Ἀρόδες (Πάνω καὶ Κάτω).

16) Νεάρχου Κληρίδη, Ὁ ἅγιος Ἀγαπήτης καὶ ὁ ἅγιος Μισήτης, ἐν «Κυπριακαὶ Σπουδαί», τόμ. XVII, 1953, Λευκωσία 1954, σσ. 75-78 πίν. ιζ΄, ιη΄).

17) Κώστα Π. Κύρρη, Ὁ ἅγιος Καλάνδιος ἢ Καλανδίων ἢ Καλάντιος, Ἀγάπιος καὶ Βαρλαὰμ στὴν Ἀρόδα τῆς ἐπαρχίας Πάφου στὴν Κύπρον, ἐν «Ἐπετηρίδα Κέντρου Μελετῶν Ἱερᾶς Μονῆς Κύκκου», τόμ. 3ος, Λευκωσία 1996, σσ. 88-96.

### β) Ναογραφία.

1) Cl. Cobham, The Churches and Saints of Cyprus, London 1910, σ. 33 Callantion, Tamassos, March 22, Calandion (April 26) ἰατρὸς καὶ θαυματουργὸς Acolouthia printed at (Alexandria?) 1904, σ. 30 Ἀγάπιος, σ. 32 Βαρλαάμ.

2) Νεοκλῆ Γ. Κυριαζῆ, Κυπριακὴ Βιβλιογραφία, Ἐν Λάρνακι 1935, σ. 96 Ἱερὰ ἀκολουθία τοῦ ἁγίου ἱεράρχου Καλανδίωνος, ψαλλομένη τῇ 26ῃ Ἀπριλίου, ἐκδοθεῖσα δαπάνῃ Α. Πατσαλίδου, Γ. Πατσαλίδου, Ε.Σ. Σεραφίδου, Δ.Κ. Φλεβοτόμα, Ἀλεξάνδρεια 1904, μέγα 8ον, σ. 15.

3) Θεοχάρους Ε. Σχίζα, Ἀναφορὰ εἰς τὰς ἀκολουθίας τὰς ψαλλομένας ἐν Κύπρῳ, Ἐν «Ἀντιπελάργησις», τόμος τιμητικὸς πρὸς τὸν Ἀρχιεπίσκοπον Κύπρου κ.κ. Χρυσόστομον, ἐπὶ τῇ εἰκοσιπενταετηρίδι τῆς ἀρχιερατικῆς αὐτοῦ διακονίας, Λευκωσία 1993, σ. 531.

4) Νεοκλῆ Γ. Κυριαζῆ, Ἅγιοι ἐν Κύπρῳ καὶ οἱ ναοί των, ἐν «Ἀγάπη», Λευκωσία, Ἰανουάριος 1946, ἔτος Γ΄, τεῦχος 17, σ. 22.

5) Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 179, 208 Ὁ ἅγιος Καλανδίων, σ. 177 Ὁ ἅγιος Ἀγάπιος, σ. 178 ὁ Ἅγιος Βαρλαάμ.

6) Κώστα Ἀ. Πιλαβάκη, Συναγωγὴ Κυπριακοῦ τοπωνυμικοῦ ὑλικοῦ, ἐν «Κυπριακαὶ Σπουδαί», τόμ. XXXVII, (1973), παράρτημα, σ. 47 Ἀρόδες (Πάνω) Ἀρόδες Κάτω, ἐκ τῶν καταλοίπων Σίμου Μενάρδου.

7) A concise gazetteer of Cyprus, Nicosia 1982, σ. 48 Πάνω Ἀρόδες, αἱ, χωρίον ἐπαρχίας Πάφου, VD 46 66, σ. 29 Κάτω Ἀρόδες, αἱ, χωρίον ἐπαρχίας Πάφου, VD 45 67.

8) Χ. Μπακιρτζῆ, Ἡ θαλάσσια διαδρομὴ Κύπρου - Αἰγαίου στὰ παλαιοχριστιανικὰ χρόνια, ἐν «Πρακτικὰ τοῦ Διεθνοῦς Ἀρχαιολογικοῦ Συνεδρίου, Ἡ Κύπρος καὶ τὸ Αἰγαῖο στὴν ἀρχαιότητα ἀπὸ τὴν προϊστορικὴ περίοδο ὡς τὸν 7ον αἰῶνα μ.Χ.», Λευκωσία 8-10 Δεκεμβρίου 1995, Λευκωσία 1997, σσ. 327-332.

9) Ἄντρου Παυλίδη, Καλάντιος ἢ Καλάνδιος ἢ Καλανδίων ἅγιος, ἐν «Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια», τόμ. 6ος, Λευκωσία 1987, σσ. 201-202.

10) Γεωργίου Καρούζου, Ἀρόδες Πάνω, ἐν «Μ.Κ.Ε.», τόμ. 2ος, Λευκωσία 1985, σσ. 325-327. Τοπωνύμιον: Ἀρόδες σ. 327, Ἀρόδες Κάτω, σσ. 324-325.

11) Ἡμερολόγιον Ἐκκλησίας Κύπρου, Τυπικὴ διάταξις ἱερῶν ἀκολουθιῶν 1999, σ. 44 Καλανδίων ὅσιος, 26 Ἀπριλίου. Τοπικὴ πανήγυρις εἰς Ἀρόδες Πάφου, σ. 210 Καλανδίωνος ὁσίου, σ. 396 Ἀρόδες, Ἱερὸς ναὸς Ἁγίου Καλανδίωνος.

### γ) Εἰκονογραφία.

1) Ἰ. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σ. 179 Ὁ ἅγιος Καλανδίων, εἰκὼν ἐν τῷ κοινοτικῷ ὁμωνύμῳ ναῷ εἰς τὸ χωρίον Πάνω Ἀρόδες, Φῶτο Σίπυλος, 18ου αἰῶνος.

2) Βλασίου Μοναχοῦ, Πατερικὸν τῆς νήσου Κύπρου, Λάρνακα 1997, σ. 90 Ὁ ἅγιος Καλαντίων, εἰκὼν τοῦ 1901.

### δ) Λαογραφικὴ παράδοσις.

1) George A. Williamson, μετάφρασις Λοΐζου Φιλίππου, Οἱ προστάται τῆς ἰατρικῆς ἅγιοι ἐν τῇ Ἑλληνικῇ Ἐκκλησίᾳ, ἐν «Κυπριακὰ Χρονικά», ἔτος ΣΤ΄, 1929, τεῦχος γ΄, σ. 233 Ὁ Ἅγιος Καλανδρίων. Πᾶν ὅ,τι ἔμαθον περὶ αὐτοῦ εἶναι ὅτι ἦτο ἰατρὸς καὶ θαυματουργός.

2) L. Philippou, Paphos, Nicosia 1949, σ. 26 The

Hermitages of SS. Agapetikos, Misetikos and Xorinos.

3) Γεωργίου Ἀ. Σωτηρίου, Τὰ παλαιοχριστιανικὰ καὶ βυζαντινὰ μνημεῖα τῆς Κύπρου (Ἀποσπάσματα ἐκ τῶν Πρακτικῶν τῆς Ἀκαδημίας Ἀθηνῶν, τόμ. 6ος, 1931, σ. 481 Ἐν Πάφῳ σπήλαια τῶν Ἀγαπητικοῦ καὶ Μισητικοῦ). Βλ. καὶ «Ἀπόστολος Βαρνάβας», περ. Β΄, τόμ. Δ΄, 1932, σ. 145.

4) Ἀθηνᾶς Ταρσούλη, Κύπρος, τόμ. Α΄, Ἀθῆναι 1955, σ. 340 Οἱ ἅγιοι Ἀγαπητικός, Μισητικὸς καὶ Ξορινός.

5) Ἀνδρέου Μιτσίδου, Ἀγαπητικοῦ Ἁγίου Σπήλαιον, ἐν «Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία», τόμ. 1ος, Ἀθῆναι 1962, σσ. 146-147 Παρομοία ἐνδιαφέρουσα παράδοσις ὑπάρχει καὶ εἰς τὸ χωρίον τῆς Πάφου Ἄνω Ἀρόδες. Εἰς τὸν βόρειον περίβολον τοῦ ναοῦ τοῦ χωρίου τούτου, τοῦ τιμωμένου ἐπ' ὀνόματι τοῦ Ἁγίου Καλαντίου, εὑρίσκεται λάρναξ, τὴν ὁποίαν οἱ χωρικοὶ ἀπέδωσαν εἰς τὸν Ἅγιον Ἀγαπητικόν, τὸν ὁποῖον ἀποκαλοῦν καὶ Ἀγαπήτην.

6) J.C. Goodwin, An Historic Toponymy of Cyprus, Third edition 1978, σ. 113 Several early Cypriot Saints were buried in the area, among them Agapios, Barlaam and Kalandios.

7) Γιώργου Καρούζη, Ἡ λάρνακα τοῦ ἁγίου Ἀγαπητικοῦ στὶς Ἀρόδες, 1983, Βλέπε καὶ τοῦ ἰδίου, Θερμοκρήνη καὶ κατακόμβη τῆς Παναγίας Χρυσοσπηλιώτισσας, 1982, Ἐκδόσεις Πρότυπου Συνδέσμου ἀνάπτυξης καὶ ἀνανέωσης Πάνω Ἀρόδων.